Test. Thuc. I, 50, 5: *Themistocles cum legatis Spartam venit ut arte sua irrita redderet studia Lacedaemoniorum ne moenia Athenarum restaurarentur.* καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν οὐ προσῄει πρὸς τὰς ἀρχάς (*i. e. ephoros*), ἀλλὰ διῆγε καὶ προυφασίζετο. καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων (*i. e. ephororum*) ὅτι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινόν, ἔφη τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι, προσδέχεσθαι μέντοι ἐν τάχει ἥξειν καὶ θαυμάζειν ὡς οὔπω πάρεισιν. Cfr. Diod. XI, 39, 5.

Diod. XI, 40, 2: παραδόξως δὲ τῶν ἔργων ἀνυομένων διά τε τὰς πολυχειρίας καὶ τὰς τῶν ἁπάντων προθυμίας ὁ μὲν Θεμιστοκλῆς ἀνακληθεὶς ὑπὸ τῶν ἀρχόντων (*i. e. ab ephoris*) καὶ ἐπιτιμηθεὶς περὶ τῆς τειχοποιίας ἠρνήσατο τὴν οἰκοδομίαν, καὶ παρεκάλεσε τοὺς ἄρχοντας (*i. e. ephoros*) μὴ πιστεύειν κεναῖς φήμαις, ἀλλ' ἀποστέλλειν πρέσβεις ἀξιοπίστους εἰς τὰς Ἀθήνας. διὰ γὰρ τούτων εἴσεσθαι τἀληθές· καὶ τούτων ἐγγυητὴν ἑαυτὸν παρεδίδου καὶ τοὺς μεθ' ἑαυτοῦ συμπρεσβεύοντας. πεισθέντες δὲ οἱ Λακεδαιμόνιοι (*i. e. ephori*) τοὺς μὲν περὶ τὸν Θεμιστοκλέα παρεφύλαττον, εἰς δὲ τὰς Ἀθήνας ἀπέστειλαν τοὺς ἐπιφανεστάτους κατασκεψομένους, περὶ ὧν ἦν χρεία πολυπραγμονῆσαι κ. τ. λ. Cfr. Thuc. I, 91; Corn. Nep. *Them.* VII.

Plut. *Them.* XIX: γενόμενος δ' ἀπὸ τῶν πράξεων ἐκείνων εὐθὺς ἐπεχείρει (*i. e. Themistocles*) τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς ἐφόρους, ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος. Cfr. Ael. *V. H.* III, 47.

A. 469-68 (?) a. Ch.

—

Test. Thuc. I, 131 (cfr. Diod. XI, 44, 3 sqq.): *Cum Pausanias in Asia erga socios se indigne gereret et consilia cum barbaris agitare nunciaretur* οὕτω δὴ οὐκέτι ἐπέσχον (*i. e. Lacedaemonii = ephori*), ἀλλὰ πέμψαντες κήρυκα οἱ ἔφοροι καὶ σκυτάλην εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι, εἰ δὲ μή, πόλεμον αὐτῷ Σπαρτιάτας προαγορεύειν. ὁ δὲ βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι καὶ πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην. καὶ ἐς μὲν τὴν εἱρκτὴν ἐσπίπτει τὸ πρῶτον ὑπὸ τῶν ἐφόρων (ἔξεστι δὲ τοῖς ἐφόροις τὸν βασιλέα δρᾶσαι τοῦτο), ἔπειτα διαπραξάμενος ὕστερον ἐξῆλθε καὶ καθίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτὸν ἐλέγχειν.

Diod. XI, 45, 3 sqq. (= Thuc. I, 132, 133, 134): *Ubi autem Argilius quidam, qui quondam Pausaniae amasius fuerat idemque illi fidelissimus, ephoris litteras Regi scriptas, tradidit, ex quibus planissime constabat foedus cum illo initum,* τούτων δὲ, (*i. e. ephororum*) ἀπιστούντων διὰ τὸ ἀνεῳγμένας αὐτοῖς τὰς ἐπιστολὰς ἀναδεδόσθαι, καὶ πίστιν ἑτέραν βεβαιοτέραν ζητούντων, ἐπηγγείλατο παραδώσειν αὐτὸν ὁμολογοῦντα. πορευθεὶς οὖν ἐπὶ Ταίναρον καὶ καθεζόμενος ἐπὶ τῷ τοῦ Ποσειδῶνος ἱερῷ διπλῆν σκηνὴν περιεβάλετο, καὶ τοὺς μὲν ἐφόρους καὶ τῶν ἄλλων Σπαρτιατῶν τινας κατέκρυψε, τοῦ δὲ Παυσανίου παραγενομένου πρὸς αὐτὸν καὶ πυνθανομένου τὴν αἰτίαν τῆς ἱκετείας, ἐμέμψατο αὐτῷ καθ' ὅσον εἰς τὴν ἐπιστολὴν ἐνέγραψε τὸν καθ' αὐτοῦ θάνατον. τοῦ δὲ Παυσανίου φήσαντος μεταμελεῖσθαι καὶ συγγνώμην αἰτουμένου τοῖς ἀγνοηθεῖσιν, ἔτι δὲ δεηθέντος ὅπως

συγκρύψῃ, καὶ δωρεὰς μεγάλας ὑπισχνουμένου, αὐτοὶ μὲν διελύθησαν, οἱ δ' ἔφοροι καὶ οἱ μετ' αὐτῶν ἀκριβῶς μαθόντες τἀληθὲς τότε μὲν ἡσυχίαν ἔσχον, ὕστερον δὲ τῶν Λακεδαιμονίων τοῖς ἐφόροις συλλαμβανόντων, προαισθόμενος ἔφθασε καὶ κατέφυγεν εἰς ἱερὸν τὸ τῆς Ἀθηνᾶς τῆς Χαλκιοίκου. Cfr. Corn. Nep. *Paus.* III; IV; V.

A. 447-46 a. Ch.

—

Test. Plut. *Pericl.* XXII: *Cum nuntiatum esset exercitum hostium esse in finibus Atticae, duce Plistonacte, rege Lacedaemoniorum,* ὁ Περικλῆς κατὰ τάχος ἐκ τῆς Εὐβοίας ἀνεκομίζετο πρὸς τὸν ἐν τῇ Ἀττικῇ πόλεμον· καὶ συνάψαι μὲν εἰς χεῖρας οὐκ ἐθάρσησε πολλοῖς καὶ ἀγαθοῖς ὁπλίταις προκαλουμένοις. ὁρῶν δὲ τὸν Πλειστώνακτα νέον ὄντα κομιδῇ, χρώμενον δὲ μάλιστα Κλεανδρίδῃ τῶν συμβούλων, ὃν οἱ ἔφοροι φύλακα καὶ πάρεδρον αὐτῷ διὰ τὴν ἡλικίαν συνέπεμψαν, ἐπειρᾶτο τούτου κρύφα, καὶ ταχὺ διαφθείρας χρήμασιν αὐτὸν ἔπεισεν ἐκ τῆς Ἀττικῆς ἀπαγαγεῖν τοὺς Πελοποννησίους.

Cfr. quod chronologiam spectat Thuc. II, 21: Ἀθηναῖοι δὲ μέχρι μὲν οὗ περὶ Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον ὁ στρατὸς ἦν, καί τινα ἐλπίδα εἶχον ἐς τὸ ἐγγυτέρω αὐτοὺς μὴ προιέναι, μεμνημένοι καὶ Πλειστοάνακτα τὸν Παυσανίου Λακεδαιμονίων βασιλέα, ὅτε ἐσβαλὼν τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θριῶζε στρατῷ Πελοποννησίων πρὸ τοῦδε τοῦ πολέμου τέσσαρσι καὶ δέκα ἔτεσιν ἀνεχώρησε πάλιν ἐς τὸ πλεῖον οὐκέτι προελθών κ. τ. λ.

Ante a. 432-31 a. Ch. (ante initium belli Peloponnesiaci).
Ἀριστεύς *ep.*

Test. Roehl, *I. G. A.* n. 83: ἀνέθηκε Ἐκέφυλος Νεαρέταν τῷ Ποσίδᾶνι. ἔφορος Ἀριστεύς. ἐπακόω Ἀριστοτέλης Δαμοφῶν. Cfr. Cauer, *Del. Inscr. Graec.*[2] n. 19.

Ante a. 432-31 a. Ch. (ante initium belli Peloponnesiaci).
Εὐδαμίδας *ep.*

Test. Roehl, *I. G. A.* n. 86: ἀνέθηκε τῷ Ποσίδᾶνι Νίκων Νικαφορίδα καὶ Λύιππον καὶ Νικαρχίδαν καὶ ταὐτᾶς πάντα. Ἔφορος Εὐδαμίδας· ἐπάκοε Μενεχαρίδας Ἀνδρομήδης. Cfr. Cauer, *Del. Inscr. Graec.*[2] n. 21.

A. 433-32 (aut 432-31) a. Ch.
Σθενελαίδας.

Test. Thuc. I, 85, 3: καὶ ὁ μὲν Ἀρχίδαμος *de bello contra Athenienses suscipiendo* τοιαῦτα εἶπε· παρελθὼν δὲ Σθενελαίδας τελευταῖος, εἷς τῶν ἐφόρων τότε ὤν, ἔλεξε ἐν τοῖς Λακεδαιμονίοις ὧδε κ. τ. λ. Ibid. 86; 87: *et postquam Lacedaemonios ad bellum contra Athenienses suscipiendum hortatus est* ἐπεψήφιζεν αὐτὸς ἔφορος ὢν ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων. ὁ δὲ (κρίνουσι γὰρ βοῇ καὶ οὐ ψήφῳ) οὐκ ἔφη διαγιγνώσκειν τὴν βοὴν ὁποτέρα μείζων, ἀλλὰ βουλόμενος αὐτοὺς φανερῶς ἀποδεικνυμένους τὴν γνώμην ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι ἔλεξεν " Ὅτῳ μὲν ὑμῶν, ὦ Λακεδαιμόνιοι, δοκοῦσι λελύσθαι αἱ σπονδαὶ καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον, „ δείξας τι χωρίον αὐτοῖς " ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ ἐπὶ θάτερα „ κ. τ. λ.

A. 432-31 a. Ch.
Αἰνησίας *ep.*

Test. Thuc. II, 2, 1: Τέσσαρα μὲν γὰρ καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαὶ αἳ ἐγένοντο μετ' Εὐβοίας ἅλωσιν· τῷ δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ Χρυσίδος ἐν Ἄργει τότε πεντήκοντα δυοῖν δέοντα ἔτη ἱερωμένης καὶ Αἰνησίου ἐφόρου ἐν Σπάρτῃ καὶ Πυθοδώρου ἔτι τέσσαρας μῆνας ἄρχοντος Ἀθηναίοις, κ. τ. λ.

Xen. *Hell.* II, 3, 9: *Omnia quae in bello in Athenienses Lysander acquisiverat Spartam misit,* τελευτῶντος τοῦ θέρους, [εἰς ὃ ἑξάμηνος καὶ ὀκτὼ καὶ εἴκοσιν ἔτη τῷ πολέμῳ ἐτελεύτα, ἐν οἷς ἔφοροι οἱ ἀριθμούμενοι οἵδε ἐγένοντο, Αἰνησίας πρῶτος ἐφ' οὗ ἤρξατο ὁ πόλεμος, πέμπτῳ καὶ δεκάτῳ ἔτει τῶν μετ' Εὐβοίας ἅλωσιν τριακονταετίδων σπονδῶν κ. τ. λ.].

A. 431-30 a. Ch.
Βρασίδας *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [μετὰ δὲ τοῦτον (*i. e.* Αἰνησίαν) *ephori eponymi qui durante bello Peloponnesiaco ei successerunt fuerunt* οἵδε· Βρασίδας].

A. 430-29 a. Ch.
Ἰσάνωρ *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [*Brasidae successit* Ἰσάνωρ].

A. 429-28 a. Ch.
Σωστρατίδας *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [*Isanori successit* Σωστρατίδας].

A. 428-27 a. Ch.

Ἕξαρχος *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [*Sostratidae successit* Ἕξαρχος].

A. 427-26 a. Ch.

Ἀγησίστρατος *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [*Exarcho successit* Ἀγησίστρατος.

Roehl, *I. G. A.* n. 88: ἀνέθηκε Αἰσχρίων Ἀπειρώτας τῷ Ποσίδᾶνι Ἡρακληΐδαν αὐτὸν καὶ ταὐτώ. ἔφορος Ἀγηΐστρατος· ἐπάκω Πρυαῖος Ἐπικύδη[ς]. Cfr. Cauer *Del. Inscr. Graec.*[2] n. 22.

A. 426-25 a. Ch.

Ἀγγενίδας *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [*Agesistrato successit* Ἀγγενίδας].

A. 425-24 a. Ch.

Ὀνομακλῆς *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [*Angenidae successit* Ὀνομακλῆς].

A. 424-23 a. Ch.

Ζεύξιππος *ep.*

Ταῦρος Ἐχετιμίδα (?)

Ἀθήναιος Περικλείδα (?)

Φιλοχαρίδας Ἐρυξιδαίδα (?)

Test. Xen. *Hell.* II, 3, 10: [*Onomacli successit* Ζεύξιππος].

Thuc. IV, 119: *A. 423 Athenienses et Lacedaemonii et socii, factis induciis spoponderunt, se annum integrum induciarum conventis staturos.* συνετίθεντο δὲ καὶ ἐσπένδοντο Λακεδαιμονίων μὲν οἵδε. Ταῦρος Ἐχετιμίδα, Ἀθήναιος Περικλείδα, Φιλοχαρίδας Ἐρυξιδαίδα·

A. 423-22 a. Ch.

Πιτύας *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [*Zeuxippo succ.* Πιτύας].

A. 422-21 a. Ch.

Πλειστόλας *ep.*

Δαμάγητος (?)

Χίονις (?)

Μεταγένης (?)

Ἄκανθος (?)

Test. Thuc. V, 19: ἄρχει *in foederibus faciendis quinquaginta annorum* ἔφορος Πλειστόλας, Ἀρτεμισίου μηνὸς τετάρτῃ φθίνοντος, ἐν δὲ Ἀθήναις ἄρχων Ἀλκαῖος, Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. ὤμνυον δὲ οἵδε καὶ ἐσπένδοντο· Λακεδαιμονίων μὲν Πλειστοάναξ, Ἄγις, Πλειστόλας, Δαμάγητος, Χίονις, Μεταγένης, Ἄκανθος κ. τ. λ. Cfr. ib. 24, 25; Xen. *Hell.* II, 3, 10. V. quoque quod ad chronol. spectat Thuc. ib. 36: τοῦ δ' ἐπιγιγνομένου χειμῶνος (*i. e. a. 421*), ἔτυχον γὰρ ἔφοροι ἕτεροι καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο ἄρχοντες ἤδη καί τινες αὐτῶν καὶ ἐναντίοι σπονδαῖς, κ. τ. λ.

A. 421-20 a. Ch.
Κλεινόμαχος *ep.*
Κλεόβουλος
Ξενάρης
Test. Xen. *Hell.* II, 3, 10: [*Plistolae succ.* Κλεινόμαχος].
Thuc. V, 36: τοῦ δ' ἐπιγιγνομένου χειμῶνος (ἔτυχον γὰρ ἔφοροι ἕτεροι καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο ἄρχοντες ἤδη καί τινες αὐτῶν καὶ ἐναντίοι σπονδαῖς) ἐλθουσῶν πρεσβειῶν ἀπὸ τῆς ξυμμαχίδος καὶ παρόντων Ἀθηναίων καὶ Βοιωτῶν καὶ Κορινθίων καὶ πολλὰ ἐν ἀλλήλοις εἰπόντων καὶ οὐδὲν ξυμβάντων, ὡς ἀπῆσαν ἐπ' οἴκου, τοῖς Βοιωτοῖς καὶ Κορινθίοις Κλεόβουλος καὶ Ξενάρης, οὗτοι οἵπερ τῶν ἐφόρων ἐβούλοντο μάλιστα διαλῦσαι τὰς σπονδάς, λόγους ποιοῦνται ἰδίους, παραινοῦντες ὅτι μάλιστα ταὐτά τε γιγνώσκειν καὶ πειρᾶσθαι Βοιωτούς, Ἀργείων γενομένους πρῶτον αὐτοὺς ξυμμάχους, αὖθις μετὰ Βοιωτῶν Ἀργείους Λακεδαιμονίοις ποιῆσαι ξυμμάχους· Cfr. ib. 38.

A. 420-19 a. Ch.
Ἴλαρχος *ep.*
Test. Xen. *Hell.* II, 3, 10: [*Clinomacho succ.* Ἴλαρχος].

A. 419-18 a. Ch.
Λέων *ep.*
Test. Xen. *Hell.* II, 3, 10: [*Ilarcho succ.* Λέων].

A. 418-17 a. Ch.
Χαιρίλας *ep.*
Test. Xen. *Hell.* II, 3, 10: [*Leonti succ.* Χαιρίλας].

A. 417-16 a. Ch.
Πατησιάδας *ep.*
Test. Xen. *Hell.* II, 3, 10: [*Chaerilae succ.* Πατησιάδας].

A. 416-15 a. Ch.
Κλεοσθένης *ep.*
Test. Xen. *Hell.* II, 3, 10: [*Patesiadae succ.* Κλεοσθένης].

A. 415-14 a. Ch.
Λυκάριος *ep.*
Test. Xen. *Hell.* II, 3, 10: [*Cleostheni succ.* Λυκάριος].
Thuc. VI, 88: καὶ ξυνέβη ἐν τῇ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων τούς τε Κορινθίους καὶ τοὺς Συρακοσίους τὰ αὐτὰ καὶ τὸν Ἀλκιβιάδην δεομένους πείθειν τοὺς Λακεδαιμονίους. καὶ διανοουμένων τῶν τε ἐφόρων καὶ τῶν ἐν τέλει ὄντων πρέσβεις πέμπειν ἐς Συρακούσας κωλύοντας μὴ ξυμβαίνειν Ἀθηναίοις, βοηθεῖν δὲ οὐ προθύμων ὄντων, παρελθὼν ὁ Ἀλκιβιάδης παρώξυνέ τε τοὺς Λακεδαιμονίους καὶ ἐξώρμησε λέγων τοιάδε.

A. 414-13 a. Ch.
Ἐπήρατος *ep.*
Test. Xen. *Hell.* II, 3, 10: [*Lycario succ.* Ἐπήρατος].

A. 413-12 a. Ch.
Ὀνομάντιος *ep.*
Ἔνδιος.
Test. Xen. *Hell.* II, 3, 10: [*Eperato succ.* Ὀνομάντιος].
Thuc. VIII, 6: ξυνέπρασσε γὰρ αὐτοῖς καὶ Ἀλκιβιάδης, Ἐνδίῳ ἐφορεύοντι πατρικὸς ἐς τὰ μάλιστα ξένος

ὧν, ὅθεν καὶ τοὔνομα Λακωνικὸν ἡ οἰκία αὐτῶν κατὰ τὴν ξενίαν ἔσχεν· Ἔνδιος γὰρ Ἀλκιβιάδου ἐκαλεῖτο.

Enarr. Cum Alcibiades intellexisset Alcamenem Sthenelaidae filium, qui ab ephoris Lesbum missus erat, ab Atheniensibus ad Piraeum victum et interfectum esse, rursus Endio ceterisque ephoris persuasit ne per metum a classe mittenda desisterent. Quin etiam ipsi Endio privatim dixit praeclarum ipsi fore si per ipsum et Jonia deficeret, et regis societas Lacedaemoniis conciliaretur, nec Agidis hoc praeclarum facinus esset. Alcibiades enim Agidi erat inimicus. Hic igitur cum et caeteris ephoris et Endio rem persuasisset, cum quinque navibus et Chalcideo Lacedaemonio discessit: et navigationis cursum celeriter confecerunt. Cfr. Thuc. VIII, 10-12.

A. 412-11 a. Ch.

Ἀλεξιππίδας *ep.*

Test. Thuc. VIII, 58: Τρίτῳ καὶ δεκάτῳ ἔτει Δαρείου βασιλεύοντος, ἐφορεύοντος δὲ Ἀλεξιππίδα ἐν Λακεδαίμονι, ξυνθῆκαι ἐγένοντο ἐν Μαιάνδρου πεδίῳ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς Τισσαφέρνη καὶ Ἱεραμένη καὶ τοὺς Φαρνάκου παῖδας περὶ τῶν βασιλέως πραγμάτων καὶ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων. Cfr. Xen. *Hell.* II, 3, 10.

A. 411-10 a. Ch.

Μισγολαΐδας *ep.*

Ἔνδιος (?)

Test. Xen. *Hell.* II, 3, 10: [*Alexippidae succ.* Μισγολαΐδας]. Diod. XIII, 52, 2: οἱ δὲ Λακεδαιμόνιοι ὡς ἤκουσαν τὴν περὶ Κύζικον αὐτοῖς γενομένην συμφοράν, πρέσβεις ἐξέπεμψαν εἰς Ἀθήνας ὑπὲρ εἰρήνης, ὧν ἦν ἀρχιπρεσβευτὴς Ἔνδιος.

Plut. *Alcib.* XXVIII (= Xen. *Hell.* I, 1, 23): *Post proelium ad Cyzicum* ἑάλω δὲ καὶ γράμματα λακωνικῶς φράζοντα τοῖς ἐφόροις τὴν γεγενημένην ἀτυχίαν· Ἔρρει τὰ καλά· Μίνδαρος ἀπεσσούα· πεινῶντι τῶνδρες· ἀπορίομες, τί χρὴ δρᾶν.

A. 410-09 a. Ch.

Ἰσίας *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [*Misgolaidae succ.* Ἰσίας].

A. 409-08 a. Ch.

Ἄρακος *ep.*

Test. Xen. *Hell.* II, 3, 10: [*Isiae succ.* Ἄρακος].

A. 408-07 a. Ch.

Εὐάρχιππος *ep.*

Test. Xen. *Hell.* I, 2, 1: Τῷ δὲ ἄλλῳ ἔτει, ᾧ ἦν Ὀλυμπιὰς τρίτη καὶ ἐνενηκοστή, ᾗ προστεθεῖσα ξυνωρὶς ἐνίκα Εὐαγόρου Ἠλείου, τὸ δὲ στάδιον Εὐβώτας Κυρηναῖος, ἐπὶ ἐφόρου μὲν ὄντος ἐν Σπάρτῃ Εὐαρχίππου, ἄρχοντος δ' ἐν Ἀθήναις Εὐκτήμονος, κ. τ. λ. Cfr. ib. II, 3, 10.

A. 407-06 a. Ch.

Παντακλῆς *ep.*

Test. Xen. *Hell.* I, 3, 1: [Τοῦ δ' ἐπιόντος ἔτους, ὁ ἐν Φωκαίᾳ νεὼς τῆς Ἀθηνᾶς ἐνεπρήσθη πρηστῆρος ἐμπε-

σόντος] ἐπεὶ δ' ὁ χειμὼν ἔληγε, [Παντακλέους μὲν ἐφορεύοντος, κ. τ. λ.]. Cfr. ib. II, 3, 10.

A. 406-05 a. Ch.

Πιτύας *ep.*

Test. Xen. *Hell.* I, 6, 1: Τῷ δ' ἐπιόντι ἔτει [.....Πιτύα μὲν ἐφορεύοντος, κ. τ. λ.]. Cfr. ib. II, 3, 10.

A. 405-04 a. Ch.

Ἀρχύτας *ep.*

Test. Xen. *Hell.* II, 1, 10: Τῷ δ' ἐπιόντι ἔτει [ἐπὶ Ἀρχύτα μὲν ἐφορεύοντος, κ. τ. λ.]. Cfr. ibid. II, 3, 10.

ib. II, 2, 13: οἱ δ'ἐπεὶ (*i. e. legati Atheniensium Lacedaemonem missi pro facienda pace*) ἦσαν ἐν Σελλασίᾳ [πλησίον τῆς Λακωνικῆς] καὶ ἐπύθοντο οἱ ἔφοροι αὐτῶν ἃ ἔλεγον, ὄντα οἷάπερ καὶ πρὸς Ἄγιν, αὐτόθεν αὐτοὺς ἐκέλευον ἀπιέναι, καὶ εἴ τι δέονται εἰρήνης, κάλλιον ἥκειν βουλευσαμένους. ib. 18: *Cum autem Theramenes simul cum novem aliis ut Lacedaemonem plena cum potestate legatus iret delectus esset*, Λύσανδρος δὲ τοῖς ἐφόροις ἔπεμψεν ἀγγελοῦντα μετ' ἄλλων Λακεδαιμονίων Ἀριστοτέλην, φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο Θηραμένει ἐκείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου (Cfr. ib. 12: ὁ δὲ, *i. e. Agis*, αὐτοὺς εἰς Λακεδαίμονα, *scil. ad ephoros*, ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. = ib. 17: οὐ γὰρ εἶναι κύριος ὧν ἐρωτῷτο ὑπ' αὐτοῦ, *i. e. a Lysandro*, ἀλλὰ τοὺς ἐφόρους). Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις ἐπεὶ ἦσαν ἐν Σηλλασίᾳ, ... ἐρωτώμενοι δὲ ἐπὶ τίνι λόγῳ ἥκοιεν εἶπον ὅτι αὐτοκράτορες περὶ εἰρήνης, μετὰ ταῦτα οἱ ἔφοροι καλεῖν ἐκέλευον αὐτούς. ἐπεὶ δ' ἧκον, ἐκκλησίαν ἐποίησαν, *scil. ephori*, κ. τ. λ.

Enarr. Lysandro, confecto bello Peloponnesiaco, pecuniae quod supererat, dona et coronas (Diod. *ad. l.* τά τε λάφυρα κομίζοντα καὶ μετὰ τούτων ἀργυρίου τάλαντα χίλια καὶ πεντακόσια) Gylippo Lacedaemonem ferenda dedit. Gylippus commissuras vasorum inferne aperiens ac de singulis multum argenti auferens, compegit iterum ea, ignorans in uno quolibet schedulam esse pecuniae numerum indicantem (Diod. *ad. l.* ἔχοντος ἑκάστου σκυτάλην ἔχουσαν τὴν ἐπιγραφὴν τὸ πλῆθος τοῦ χρήματος δηλοῦσαν). Ut venit Spartam pecuniam furtivam sub tegulis domus suae abdidit, vasa ephoris tradidit, sigilla integra ostendens. Quibus apertis atque numeratis, cum pecunia schedulis non responderet, dubitatione ephoris obiecta per ambages indicium fecit famulus Gylippi, et Sparta eiectus est (Diod. *ad. l.* καὶ διὰ τῆς ἐπιγραφῆς γνωσθεὶς ὑπὸ τῶν ἐφόρων, ἔφυγε καὶ κατεδικάσθη θανάτῳ). Plut. *Lys.* XVI-XVII = Diod. XIII, 106, 8 sqq. Vide etiam Plut. *Apopht. Lac.* 229 *B*: νικήσας (*i. e. Lysander*) δὲ τοὺς Ἀθηναίους ἐξ ἐνέδρας περὶ Αἰγὸς ποταμοὺς καὶ λιμῷ πιέσας αὐτοὺς παρεστήσατο τὴν πόλιν καὶ ἔγραψε τοῖς ἐφόροις " ἑαλώκασιν αἱ Ἀθῆναι „ = Plut. *Lys.* XIV: καίτοι Λακεδαιμονίων ἐστὶν ἀκοῦσαι λεγόντων, ὡς Λύσανδρος μὲν ἔγραψε τοῖς ἐφόροις τάδε· " Ἁλώκαντι ταὶ Ἀθᾶναι „. Λυσάνδρῳ δ' ἀντέγραψαν οἱ ἔφοροι, " Ἀρκεῖ τό γε ἑαλώκειν „.

A. 404-03 a. Ch.

Ἔνδιος *ep.*

Ναυκλείδας

Σκιραφίδας

Φλογίδας

Test. Xen. *Hell.* II, 3, 1: τῷ δ' ἐπιόντι ἔτει [,ᾧ ἦν Ὀλυμπιάς, ᾗ τὸ στάδιον ἐνίκα Κροκίνας Θετταλός, Ἐνδίου ἐν Σπάρτῃ ἐφορεύοντος, κ. τ. λ.]. Cfr. ib. 3, 10.

Xen. *Hell.* II, 4, 28 sgg.: *Cum legati Lacedaemonem missi essent a trigintaviris Eleusine et ab aliis ex urbe quasi Lacedaemonios ad ferendum suppetias hortarentur,* Λύσανδρος λογισάμενος ὅτι οἷόν τε εἴη ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν τῷ Πειραιεῖ κατά τε γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, συνέπραξεν ἑκατόν τε τάλαντα αὐτοῖς δανεισθῆναι, (= Plut. *Lys.* XXI . . . . . ὁ Λύσανδρος ἔπεισε τοὺς Λακεδαιμονίους, = *ephoros,* κ. τ. λ.) καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοστήν, Λίβυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆναι. καὶ ἐξελθὼν αὐτὸς μὲν Ἐλευσῖνάδε συνέλεγεν ὁπλίτας πολλοὺς Πελοποννησίους· ὁ δὲ ναύαρχος κατὰ θάλατταν ἐφύλαττεν ὅπως μηδὲν εἰςπλέοι αὐτοῖς τῶν ἐπιτηδείων· ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ' ἐν τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ, οὕτω δὲ προχωρούντων Παυσανίας ὁ βασιλεὺς φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσοιτο τὰς Ἀθήνας, πείσας τῶν ἐφόρων τρεῖς ἐξάγει φρουράν.

ibid. 35 sqq.: ὁ δὲ Παυσανίας τροπαῖον στησάμενος ἀνεχώρησε· καὶ οὐδ' ὡς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρᾳ πέμπων ἐδίδασκε τοὺς ἐν Πειραιεῖ οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας ἐφόρους.

οἱ δ' ἐπείθοντο. διίστη δὲ καὶ τοὺς ἐν τῷ ἄστει, καὶ ἐκέλευε πρὸς σφᾶς προσιέναι ὡς πλείστους συλλεγομένους, λέγοντας ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν, ἀλλὰ διαλυθέντες κοινῇ ἀμφότεροι Λακεδαιμονίοις φίλοι εἶναι. ἡδέως δὲ ταῦτα καὶ Ναυκλείδας ἔφορος ὢν συνήκουεν· ὥσπερ γὰρ νομίζεται σὺν βασιλεῖ δύο τῶν ἐφόρων συστρατεύεσθαι, καὶ τότε παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυσανίου γνώμης ὄντες μᾶλλον ἢ τῆς μετὰ Λυσάνδρου. διὰ ταῦτα οὖν καὶ εἰς τὴν Λακεδαίμονα προθύμως ἔπεμπον . . . . .

ibid. 38 ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ ἔφοροι καὶ οἱ ἔκκλητοι, ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας εἰς τὰς Ἀθήνας, καὶ ἐπέταξαν σὺν Παυσανίᾳ διαλλάξαι ὅπῃ δύναιντο κάλλιστα. Cfr. Plut. *Lys.* XXI.

M. *F. H. G.* I; p. 269, 127: καὶ Θεόπομπος μέν φησι Σκιῤῥαφίδαν, Ἔφορος δὲ Φλογίδαν εἶναι τὸν ἀποφηνάμενον ὡς οὐ χρὴ προσδέχεσθαι νόμισμα χρυσοῦν καὶ ἀργυροῦν εἰς τὴν πόλιν, ἀλλὰ χρῆσθαι τῷ πατρίῳ.

Plut. *Lys.* XVII: οἱ δὲ φρονιμώτατοι τῶν Σπαρτιατῶν τὴν τοῦ νομίσματος ἰσχὺν φοβηθέντες, ὡς οὐχὶ τῶν τυχόντων ἁπτομένην πολιτῶν, τόν τε Λύσανδρον ἐλοιδόρουν καὶ διεμαρτύραντο τοῖς ἐφόροις ἀποδιοπομπεῖσθαι πᾶν τὸ ἀργύριον καὶ τὸ χρυσίον ὥσπερ κῆρας ἐπαγωγίμους. οἱ δὲ προῦθεσαν γνώμην. καὶ Θεόπομπος μέν φησι Σκιραφίδαν, Ἔφορος δὲ Φλογίδαν εἶναι τὸν ἀποφηνάμενον, ὡς οὐ χρὴ προσδέχεσθαι νόμισμα χρυσοῦν καὶ ἀργυροῦν εἰς τὴν πόλιν, ἀλλὰ χρῆσθαι τῷ πατρίῳ.

Enarr. Lysander omnes Lacedaemoniorum imperio subiectas urbes διῴκησε κατὰ τὴν τῶν ἐφόρων γνώμην, ἐν αἷς μὲν δεκαδαρχίας, ἐν αἷς δ' ὀλιγαρχίας καταστήσας κ. τ. λ. Diod. XIV, 13, 1.

A. post 404-03 a. Ch. (sed certe paulo inferior fine belli Peloponnesiaci). (1)

Αὐτοκράτης *ep.*

Test. Roehl, *I. G. A.* n. 84: [ἀνέθηκε ὁ δεῖνα τῷ Ποσί-δᾶνι] Θωρ[ακα] καὶ τα[ὐτῶ]. ἐπακ[όω] Βοινε[ίδας] Ἀριστίδα[ς]· ἔφορο[ς] Αὐτοκράτ[ης]. Cfr. Cauer, *Del. Inscr. Graec.*[2] n. 23.

A. 403-02 (?) (sed certe ante 399-98) a. Ch.

Θυιωνίδας *ep.*

Ἀριστογενίδας

Ἀρχίστας

Σολόγας

Φειδίλας

Test. Roehl, *I. G. A.* n. 91:....ν καὶ θ[υέων] καὶ ναῶν καὶ τῶν χρημάτων των τῶ θεῶ. Ἐβασίλευον Ἄγις Παυσανίας· ἔφοροι ἦσαν Θυιωνίδας Ἀριστογενίδας Ἀρχίστας Σολόγας Φειδίλας. Ἐν Δήλῳ.... Cfr. Cauer, *Del. Inscr. Graec.*[2] n. 24 = Dittenberger, *Sylloge*[2] etc. n. 60.

---

(1) Aetate circiter belli Peloponnesiaci ephorus fuit Ecprepes quidam, qui, teste Plutarcho, munere functus est, cum floreret Phrynis musicus. V. *Agis*, X = *Apopht. Lac.* 220 *C.* Item ad a. 447-357 (Croiset, *Hist. de la litt. grecq.* III, 636-637) referendi sunt qui (= ephori ?), teste eodem Plutarcho, Timotheo poetae idem fecerunt quod Phrynidi.

Agis l. c.: σὺ δὲ Ἐκπρέπη μὲν, ἔφησεν (*i. e. Agis*), ἐπαινεῖς, ὃς ἐφορεύων Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα χορδῶν ἐξέτεμε, καὶ τοὺς (= *ephoros* ?) ἐπὶ Τιμοθέῳ πάλιν τὸ αὐτὸ τοῦτο πράξαντας, κ. τ. λ.

Apopht. Lac. l. c.: Ἐκπρέπης ἔφορος Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα ἐξέτεμεν, εἰπών " μὴ κακούργει τὴν μουσικήν ".

Enarr. Pharnabazus iniuria a Lysandro affectus, regionem ipsius populante, Spartam misit qui eum accusarent: ephori indignatione correpti Thoracem, qui ex amicis eius et collegis in bello gerendo unus fuerat, deprehensum quod privatim argentum possideret, interfecerunt: ipsum Lysandrum scytala missa revocarunt. Lysander, accepta scytala, perturbatus animo et maxime Pharnabazi metuens accusationes, operam dedit ut eum conveniret, sperans se litem compositurum. Et oravit eum ut alias de ipso ad ephoros scriberet litteras, nullam se iniuriam accepisse. Pollicitus enim Pharnabazus omnia se facturum, palam epistolam qualem Lysander petierat scripsit, sed aliam Lysandro tradidit. Hic Spartam venit adque curiam (= ἀρχεῖον τῶν ἐφόρων) de more progressus ephoris litteras Pharnabazi reddidit. Postquam ephori lectam epistolam ipsi exhibuerunt, confusus ille et perturbatus abiit. Paucis diebus post ad ephoros se contulit sibique ad templum Ammonis ascendendum et sacrificia deo quae ante proelia devovisset peragenda dixit. Aegre impetrata abeundi venia ab ephoris, navi evectus est. Plut. *Lys.* XIX, XX, XXI. Nep. *Lys.* IV.

Quo modo ephori ναυάρχοις ἢ στρατηγοῖς *quae vellent indicabant.* ἐπὰν ἐκπέμπωσι ναύαρχον ἢ στρατηγὸν οἱ ἔφοροι, ξύλα δύο στρογγύλα μῆκος καὶ πάχος ἀκριβῶς ἀπισώσαντες, ὥστε ταῖς τομαῖς ἐφαρμόζειν πρὸς ἄλληλα, τὸ μὲν αὐτοὶ φυλάττουσι, θάτερον δέ τῷ πεμπομένῳ διδόασι. ταῦτα δὲ τὰ ξύλα σκυτάλας καλοῦσιν. ὅταν οὖν ἀπόρρητόν τι καὶ μέγα φράσαι βουληθῶσι, βιβλίον ὥσπερ ἱμάντα μακρὸν καὶ στενὸν ποιοῦντες περιελίττουσι τὴν

παρ' αὐτοῖς σκυτάλην οὐδὲν διάλειμμα ποιοῦντες, ἀλλὰ πανταχόθεν κύκλῳ τὴν ἐπιφάνειαν αὐτῆς τῷ βιβλίῳ καταλαμβάνοντες. τοῦτο δὲ ποιήσαντες ἃ βούλονται καταγράφουσιν εἰς τὸ βιβλίον ὥσπερ ἐστὶ τῇ σκυτάλῃ περικείμενον· ὅταν δὲ γράψωσιν, ἀφελόντες τὸ βιβλίον ἄνευ τοῦ ξύλου πρὸς τὸν στρατηγὸν ἀποστέλλουσι. Plut. *Lys.* XIX.

Praesides templi Iovis Ammonis per legatos Spartam (= ephoros) missos attentati per largitionis fraudem oraculi Lysandrum accusarunt. Diod. XIV, 13, 7.

A. 402-01 a. Ch.

—

Test. Xen. *Hell.* III, 1, 1: ἐκ δὲ τούτου πέμψας Κῦρος ἀγγέλους εἰς Λακεδαίμονα (*scil. ephoros*) ἠξίου, οἷόσπερ αὐτὸς Λακεδαιμονίοις ἦν ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, τοιούτους καὶ Λακεδαιμονίους αὐτῷ γίγνεσθαι. οἱ δ' ἔφοροι δίκαια νομίσαντες λέγειν αὐτόν, Σαμίῳ τῷ τότε ναυάρχῳ ἐπέστειλαν ὑπηρετεῖν Κύρῳ, εἴ τι δέοιτο. Cfr. Diod. XIV, 19, 4.

A. 401-400 a. Ch.

—

Test. Xen. *Hell.* III, 2, 23 sqq.: ....ὀργιζομένοις ἔδοξε τοῖς ἐφόροις καὶ τῇ ἐκκλησίᾳ σωφρονίσαι αὐτούς (*scil.* Ἠλείους). πέμψαντες οὖν πρέσβεις εἰς Ἦλιν εἶπον ὅτι τοῖς τέλεσι τῶν Λακεδαιμονίων δίκαιον δοκοίη εἶναι ἀφιέναι αὐτοὺς τὰς περιοικίδας πόλεις αὐτονόμους. ἀποκριναμένων δὲ τῶν Ἠλείων ὅτι οὐ ποιήσοιεν ταῦτα,

ἐπιληίδας γὰρ ἔχοιεν τὰς πόλεις, φρουρὰν ἔφηναν οἱ ἔφοροι. ἄγων δὲ τὸ στράτευμα Ἄγις ἐνέβαλε διὰ τῆς Ἀχαΐας εἰς τὴν Ἠλείαν κατὰ Λάρισον. ἄρτι δὲ τοῦ στρατεύματος ὄντος ἐν τῇ πολεμίᾳ καὶ κοπτομένης τῆς χώρας σεισμὸς ἐπιγίγνεται. ὁ δ' Ἄγις θεῖον ἡγησάμενος ἐξελθὼν πάλιν ἐκ τῆς χώρας διαφῆκε τὸ στράτευμα. ἐκ δὲ τούτου οἱ Ἠλεῖοι πολὺ θρασύτεροι ἦσαν, καὶ διεπρεσβεύοντο εἰς τὰς πόλεις, ὅσας ᾔδεσαν δυσμενεῖς τοῖς Λακεδαιμονίοις οὔσας. περιιόντι δὲ τῷ ἐνιαυτῷ φαίνουσι πάλιν οἱ ἔφοροι φρουρὰν ἐπὶ τὴν Ἦλιν, κ. τ. λ.

A. 400-399 a. Ch.

—

Test. Xen. *Hell.* III, 1, 7: δοκοῦντος δ' αὐτοῦ (*i. e.* Θίβρωνος) οὐδὲν ποιεῖν, πέμπουσιν οἱ ἔφοροι ἀπολιπόντα Λαρίσαν στρατεύεσθαι ἐπὶ Καρίαν. V. quoque Diod. XIV, 38, 2..... Λακεδαιμόνιοι πυθόμενοι τὸν Θίβρωνα κακῶς διοικοῦντα τὰ κατὰ τὸν πόλεμον, Δερκυλίδαν στρατηγὸν εἰς τὴν Ἀσίαν ἐξέπεμψαν· = Xen. *Hell.* III, 1, 8: ἐν Ἐφέσῳ δὲ ἤδη ὄντος αὐτοῦ (*i. e.* Θίβρωνος), ὡς ἐπὶ Καρίαν πορευομένου, Δερκυλίδας ἄρξων ἀφίκετο ἐπὶ τὸ στράτευμα, ἀνὴρ δοκῶν εἶναι μάλα μηχανητικός. καὶ ἐπεκαλεῖτο δὲ Σίσυφος.

A. 399-98 a. Ch.

—

Test. Xen. *Hell.* III, 2, 6 sqq.: ἅμα δὲ τῷ ἦρι ἀποπορευόμενος ὁ Δερκυλίδας ἐκ τῶν Βιθυνῶν ἀφικνεῖται εἰς Λάμψακον. ἐνταῦθα δ' ὄντος αὐτοῦ ἔρχονται ἀπὸ τῶν οἴκοι τελῶν (=*ab ephoris*; vide inferius) Ἄρα-

κός τε καὶ Ναυβάτης καὶ Ἀντισθένης. οὗτοι δ' ἦλθον ἐπισκεψόμενοι τά τε ἄλλα ὅπως ἔχοι τὰ ἐν τῇ Ἀσίᾳ, καὶ Δερκυλίδᾳ ἐροῦντες μένοντι ἄρχειν καὶ τὸν ἐπιόντα ἐνιαυτόν. καὶ ἐπιστεῖλαι δὲ σφίσιν αὐτοῖς τοὺς ἐφόρους συγκαλέσαντας τοὺς στρατιώτας εἰπεῖν ὡς ὧν μέν πρόσθεν ἐποίουν μέμφοιντο αὐτοῖς, ὅτι δὲ νῦν οὐδὲν ἠδίκουν, ἐπαινοῖεν· καὶ περὶ τοῦ λοιποῦ χρόνου εἰπεῖν ὅτι ἄν μὲν ἀδικῶσιν, οὐκ ἐπιτρέψουσιν, ἂν δὲ δίκαια περὶ τοὺς συμμάχους ποιῶσιν, ἐπαινέσονται αὐτούς.

Enarr. Ephori cum audivissent coniurationem esse occultam in ephoros et optimates, et principem eius auctorem Cinadonem, καὶ οὐδὲ τὴν μικρὰν καλουμένην ἐκκλησίαν συλλέξαντες, ἀλλὰ συλλεγόμενοι τῶν γεροντων ἄλλος ἄλλοθι eam maxima prudentia opprimunt. Nam sub specie Cinadonem mittendi Aulonem, ut munus quoddam perficeret, eum comprehendunt; Xen. *Hell.* III, 3, 5-10. ὡς δ' ἀνήχθη ὁ Κινάδων καὶ ἠλέγχετο, καὶ ὡμολόγει πάντα καὶ τοὺς συνειδότας ἔλεγε, τέλος αὐτὸν ἤροντο τί καὶ βουλόμενος ταῦτα πράττοι. ὁ δ' ἀπεκρίνατο, μηδενὸς ἥττων εἶναι ἐν Λακεδαίμονι. ἐκ τούτου μέντοι ἤδη δεδεμένος καὶ τὼ χεῖρε καὶ τὸν τράχηλον ἐν κλοιῷ μαστιγούμενος καὶ κεντούμενος αὐτός τε καὶ οἱ μετ' αὐτοῦ κατὰ τὴν πόλιν περιήγοντο. καὶ οὗτοι μὲν δὴ τῆς δίκης ἔτυχον. ib. 11.

A. 398-97 a. Ch.

—

Test. Xen. *Hell.* III, 4, 2: *Cum fama exiisset Artaxerxem comparare classes pedestresque exercitus, quos in Graeciam mitteret,* Λύσανδρος νομίζων καὶ τῷ ναυτικῷ πολὺ περιέσεσθαι τοὺς Ἕλληνας καὶ τὸ τεζὸν λογιζόμενος ὡς ἐσώθη τὸ μετὰ Κύρου ἀναβάν, πείθει τὸν Ἀγησίλαον ὑποστῆναι, ἂν αὐτῷ δῶσι τριάκοντα μὲν Σπαρτιατῶν, εἰς δισχιλίους δὲ τῶν νεοδαμώδων, εἰς ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, στρατεύεσθαι εἰς τὴν Ἀσίαν. πρὸς δὲ τούτῳ τῷ λογισμῷ καὶ αὐτὸς συνεξελθεῖν αὐτῷ ἐβούλετο, ὅπως τὰς δεκαρχίας τὰς κατασταθείσας ὑπ' ἐκείνου ἐν ταῖς πόλεσιν, ἐκπεπτωκυίας δὲ διὰ τοὺς ἐφόρους, οἳ τὰς πατρίους πολιτείας παρήγγειλαν, πάλιν καταστήσειε μετ' Ἀγησιλάου. Cfr. Plut. *Lys.* XXIII; Diod. XIV, 79, 1.

Xen. *Hell.* III, 2, 12: ἐπεὶ δὲ ἀφικνούμενοι πρέσβεις εἰς Λακεδαίμονα ἀπὸ τῶν Ἰωνίδων πόλεων ἐδίδασκον ὅτι εἴη ἐπὶ Τισσαφέρνει, εἰ βούλοιτο, ἀφιέναι αὐτονόμους τὰς Ἑλληνίδας πόλεις, εἰ οὖν κακῶς πάσχοι Καρία, ἔνθαπερ ὁ Τισσαφέρνους οἶκος, οὕτως ἂν ἔφασαν τάχιστα νομίζειν αὐτὸν [συγχωρήσειν] αὐτονόμους σφᾶς ἀφεῖναι· ἀκούσαντες ταῦτα οἱ ἔφοροι ἔπεμψαν πρὸς Δερκυλίδαν, καὶ ἐκέλευον αὐτὸν διαβαίνειν σὺν τῷ στρατεύματι ἐπὶ Καρίαν καὶ Φάρακα τὸν ναύαρχον σὺν ταῖς ναυσὶ παραπλεῖν.

A. 396-95 a. Ch.

—

Test. Xen. *Hell.* III, 4, 27: ὄντι δ' αὐτῷ (*i. e.* Ἀγησιλάῳ) ἐν τῷ πεδίῳ τῷ ὑπὲρ Κύμης ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν (*i. e. ab ephoris*) ἄρχειν καὶ τοῦ ναυτικοῦ ὅπως γιγνώσκοι καὶ καταστήσασθαι ναύαρχον ὄντινα αὐτὸς βούλοιτο. = Plut. *Ages.* X. Cfr. Paus. III, 9, 6.

Plut. *Lys.* XXVIII: *Lysander cum iratus esset Thebanis*

ἤδη δὲ παντάπασι χαλεπὸς ὢν ὀργὴν διὰ τὴν μελαγχολίαν ἐπιτείνουσαν εἰς γῆρας παρώξυνε τοὺς ἐφόρους καὶ συνέπεισε πεμφθῆναι φρουρὰν ἐπ' αὐτούς, καὶ λαβὼν τὴν ἡγεμονίαν ἐξεστράτευσεν. ὕστερον δὲ καὶ Παυσανίαν τὸν βασιλέα μετὰ στρατιᾶς ἀπέστειλαν (*scil. ephori*).

A. 395-94 a. Ch. (1)

Διφρίδας

Ἐπικυδίδας (?)

Test. Xen. *Hell.* IV, II, 1 sqq.: οἱ δὲ Λακεδαιμόνιοι ἐπεὶ σαφῶς ἤσθοντο τά τε χρήματα ἐληλυθότα εἰς τὴν Ἑλλάδα καὶ τὰς μεγίστας πόλεις συνεστηκυίας ἐπὶ πολέμῳ πρὸς ἑαυτούς, ἐν κινδύνῳ τε τὴν πόλιν ἐνόμισαν καὶ στρατεύειν ἀναγκαῖον ἡγήσαντο εἶναι. καὶ αὐτοὶ μὲν ταῦτα παρεσκευάζοντο, εὐθὺς δὲ καὶ ἐπὶ τὸν Ἀγησίλαον πέμπουσιν Ἐπικυδίδαν. ὁ δ' ἐπεὶ ἀφίκετο, τά τε ἄλλα διηγεῖτο ὡς ἔχοι καὶ ὅτι ἡ πόλις ἐπιστέλλοι αὐτῷ βοηθεῖν ὡς τάχιστα τῇ πατρίδι. = Plut. *Ages.* XV: ἐν τούτῳ δὲ ἀφικνεῖται πρὸς αὐτὸν Ἐπικυδίδας ὁ Σπαρτιάτης ἀπαγγέλλων, ὅτι πολὺς περιέστηκε τὴν Σπάρτην πόλεμος Ἑλληνικὸς καὶ καλοῦσιν ἐκεῖνον οἱ ἔφοροι καὶ κελεύουσι τοῖς οἴκοι βοηθεῖν. Id. *Art.* XX. . . . . μετεπέμποντο τὸν Ἀγησίλαον ἐκ τῆς Ἀσίας οἱ ἄρχοντες

(1) Inter a. 395 (quo mortuus est Lysander) et a. 361 (quo in Aegyptum ivit Agesilaus) referenda est Lacratidae cuiusdam ephoria, de quo mentionem facit Ephorus in M. *F. H. G.* I, 269, 127: Ἔφορός φησιν . . . . . Λακρατίδαν (= Κρατίδην, Plut. *Apopth. Lac.* 229 *F*) δ' ἄνδρα φρόνιμον καὶ τότε προεστῶτα τῶν ἐφόρων, ἐπιλαβέσθαι τοῦ Ἀγησιλάου, καὶ εἰπεῖν ὡς δεῖ μὴ ἀνορύττειν τὸν Λύσανδρον, ἀλλὰ καὶ τὸν λόγον αὐτῷ συγκατορύττειν, οὕτω συντεταγμένον πιτανῶς καὶ πανούργως. = Plut. *Lys.* XXX. Cfr. Diod. XIV, 13, 8.

(=*ephori*). Cfr. Diod. XIV, 83, 1 = Corn. Nep. *Ages.* IV: hic (*Agesilaus*) cum iam animo meditaretur proficisci in Persas et ipsum regem adoriri, nuntius ei domo venit ephorum missus, bellum Athenienses et Boeotos indixisse Lacedaemoniis.

Plut. *Ages.* XVII: ἐνθαῦθα Διφρίδας οἴκοθεν ἔφορος ὢν ἀπήντησεν αὐτῷ (*i. e.* Ἀγησιλάῳ) κελεύων εὐθὺς ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν.

Enarr. Cum Agesilaus in eo esset ut Spartae in auxilium veniret οἱ μὲν ἔφοροι φρουρὰν ἔφηναν. ἡ δὲ πόλις (*scil. ephori*), ἐπεὶ Ἀγησίπολις παῖς ἔτι ἦν, Ἀριστόδημον τοῦ γένους ὄντα καὶ πρόδικον τοῦ παιδός, ἡγεῖσθαι τῇ στρατιᾷ ἐκέλευον. Xen. *Hell.* IV, 2, 9. τοὺς δὲ μνηστεύσαντας αὐτοῦ (*scil. Lysandri*) τὰς θυγατέρας, εἶτα μετὰ τὴν τελευτὴν πένητος εὑρεθέντος ἀπειπαμένους, ἐζημίωσαν οἱ ἔφοροι ὅτι πλούσιον μὲν νομίζοντες ἐθεράπευον, δίκαιον δὲ καὶ χρηστὸν ἐκ τῆς πενίας ἐπιγνόντες ὑπερεῖδον. Plut. *Apopht. Lac.* 230 *A*.

A. 388-87 a. Ch.

←

Test. Xen. *Hell.* IV, 8, 32: Ἀναξίβιος μέντοι φίλων αὐτῷ γενομένων τῶν ἐφόρων διεπράξατο ὥστε αὐτὸς ἐκπλεῦσαι ἁρμοστὴς εἰς Ἄβυδον. εἰ δὲ λάβοι ἀφορμὴν καὶ ναῦς, καὶ πολεμήσειν ὑπισχνεῖτο τοῖς Ἀθηναίοις, ὥστε μὴ ἔχειν ἐκείνοις καλῶς τὰ ἐν Ἑλλησπόντῳ. οἱ μὲν (*scil. ephori*) δὴ δόντες καὶ τρεῖς τριήρεις καὶ ἀφορμὴν εἰς ξένους χιλίους ἐξέπεμψαν τὸν Ἀναξίβιον.

A. 387-86 a. Ch.

—

Test. Xen. *Hell.* V, 1, 33: ὁ δ' Ἀγησίλαος διὰ τὴν πρὸς

Θηβαίους ἔχθραν οὐκ ἔμελλεν, ἀλλὰ πείσας τοὺς ἐφόρους εὐθὺς ἐθύετο.

A. 385-84 (aut 384-83) a. Ch.

—

Test. Xen. *Hell.* V, 2, 8 sqq.: οἱ δ' ἐκ Φλειοῦντος φεύγοντες αἰσθανόμενοι τοὺς Λακεδαιμονίους ἐπισκοποῦντας τῶν συμμάχων ὁποῖοί τινες ἕκαστοι ἐν τῷ πολέμῳ αὐτοῖς ἐγεγένηντο, καιρὸν ἡγησάμενοι, ἐπορεύθησαν εἰς Λακεδαίμονα καὶ ἐδίδασκον ὡς ἕως μὲν σφεῖς οἶκοι ἦσαν, ἐδέχετό τε ἡ πόλις τοὺς Λακεδαιμονίους εἰς τὸ τεῖχος καὶ συνεστρατεύοντο ὅποι ἡγοῖντο· ἐπεὶ δὲ σφᾶς [αὐτοὶ] ἐξέβαλον, ὡς ἕπεσθαι μὲν οὐδαμοῦ ἐθέλοιεν, μόνους δὲ πάντων ἀνθρώπων Λακεδαιμονίους οὐ δέχοιντο εἴσω τῶν πυλῶν. ἀκούσασιν οὖν ταῦτα τοῖς ἐφόροις ἄξιον ἔδοξεν ἐπιστροφῆς εἶναι. καὶ πέμψαντες (*scil. ephori*) πρὸς τὴν τῶν Φλειασίων πόλιν ἔλεγον ὡς φίλοι μὲν οἱ φυγάδες τῇ Λακεδαιμονίων πόλει εἶεν, ἀδικοῦντες δ' οὐδὲν φεύγοιεν. ἀξιοῦν δ' ἔφασαν μὴ ὑπ' ἀνάγκης, ἀλλὰ παρ' ἑκόντων διαπράξασθαι κατελθεῖν αὐτούς.

A. 383-82 a. Ch.

—

Test. Xen. *Hell.* V, 2, 11: ἐξ Ἀκάνθου δὲ καὶ Ἀπολλωνίας, αἵπερ μέγισται τῶν περὶ Ὄλυνθον πόλεων, πρέσβεις ἀφίκοντο εἰς Λακεδαίμονα. ἀκούσαντες δ' οἱ ἔφοροι ὧν ἕνεκα ἧκον, προσήγαγον αὐτοὺς πρός τε τὴν ἐκκλησίαν καὶ τοὺς συμμάχους. ib. V, 2, 24: δοξάντων δὲ καὶ τούτων ἐκπέμπουσιν οἱ Λακεδαιμόνιοι Εὐδαμίδαν, καὶ σὺν αὐτῷ νεοδαμώδεις τε καὶ τῶν περιοίκων καὶ τῶν Σκιριτῶν ἄνδρας ὡς δισχιλίους. ὁ μέντοι Εὐδαμίδας ἐξιὼν Φοιβίδαν τὸν ἀδελφὸν ἐδεήθη τῶν ἐφόρων τοὺς ὑπολειπομένους τῶν ἑαυτῷ προστεταγμένων ἀθροίσαντα μετιέναι· ib. V, 2, 32: ὡς δὲ ταῦτα ἐπέπρακτο (*i. e. occupata Cadmea*), πολέμαρχον μὲν ἀντὶ Ἰσμηνίου ἄλλον εἵλοντο, ὁ δὲ Λεοντιάδης εὐθὺς εἰς Λακεδαίμονα ἐπορεύετο. ἤυρε δ' ἐκεῖ τοὺς μὲν ἐφόρους καὶ τῆς πόλεως τὸ πλῆθος χαλεπῶς ἔχοντας τῷ Φοιβίδᾳ ὅτι οὐ προσταχθέντα ὑπὸ τῆς πόλεως ταῦτα ἐπεπράχει· Cfr. Diod. XV, 20, 1 sqq.

A. 382-81 a. Ch.

—

Test. Xen. *Hell.* V, 3, 8: τοῖς δ' οὖν Λακεδαιμονίοις, ἐπεὶ ἥκουσαν τὸ πρᾶγμα (*i. e. cladem copiarum cum Teleutia*), βουλευομένοις ἐδόκει οὐ φαύλην πεμπτέον δύναμιν εἶναι, ὅπως τό τε φρόνημα τῶν νενικηκότων καταβεσθείη καὶ μὴ μάτην τὰ πεπονημένα γένοιτο. οὕτω δὲ γνόντες ἡγεμόνα μὲν Ἀγησίπολιν τὸν βασιλέα ἐκπέμπουσι, μετ' αὐτοῦ δὲ ὥσπερ Ἀγησιλάου εἰς τὴν Ἀσίαν τριάκοντα Σπαρτιατῶν. (Certe qui mandata dant sunt ephori; ad hoc cfr. locos qui in eodem libro Xen. inveniuntur: III, 2, 25; IV, 2, 9; 6, 3; V, 2, 3; 3, 13; 4, 14; 4, 35; 4, 47; 4, 59; VI, 5, 10).

A. 382-81 (aut 381-80) a. Ch.

—

Test. Xen. *Hell.* V, 3, 13: τῷ δ' ὄντι ὑβρίζειν δοκούντων τῶν Φλειασίων φρουρὰν φαίνουσιν ἐπ' αὐτοὺς ἔφοροι.

A. 380-379 a. Ch.

—

Test. Xen. *Hell.* V, 3, 23: ἐκ τούτου δὴ πέμψαντες (*scil.* οἱ Φλειάσιοι) πρὸς τὸν Ἀγησίλαον ἐδέοντο σπείσασθαι πρεσβείαν εἰς Λακεδαίμονα (*scil. ad ephoros*) ἰοῦσι· δεδόχθαι γὰρ σφίσιν ἔφασαν ἐπιτρέπειν τοῖς τέλεσι (= ἄρχουσιν, *i. e. ephoris*) τῶν Λακεδαιμονίων χρήσασθαι τῇ πόλει ὅ τι βούλοιντο. ὁ δὲ ὀργισθεὶς ὅτι ἄκυρον ἐποίουν (contra cfr. id. II, 2, 12; 17; 18) πέμψας μὲν πρὸς τοὺς οἴκοι φίλους διεπράξατο ἑαυτῷ ἐπιτραπῆναι τὰ περὶ Φλειοῦντος, ἐσπείσατο δὲ τῇ πρεσβείᾳ.

ib. V, 3, 26: Καὶ ὁ Πολυβιάδης δὲ δὴ παντάπασι κακῶς ἔχοντας λιμῷ τοὺς Ὀλυνθίους διὰ τὸ μήτ' ἐκ γῆς λαμβάνειν μήτε κατὰ θάλατταν εἰσάγεσθαι σῖτον αὐτοῖς, ἠνάγκασε πέμψαι εἰς Λακεδαίμονα (*scil. ad ephoros*) περὶ εἰρήνης· οἱ δ' ἐλθόντες πρέσβεις αὐτοκράτορες συνθήκας ἐποιήσαντο κ. τ. λ.

A. 379-78 a. Ch.

—

Test. Xen. *Hell.* V, 4, 14: οἱ δ' ἔφοροι διδασκόμενοι ὑπὸ τῶν μετὰ τὰς ἐν Θήβαις σφαγὰς ἐκπεπτωκότων, Κλεόμβροτον ἐκπέμπουσι, πρῶτον τότε ἡγούμενον, μάλα χειμῶνος ὄντος. Cfr. Diod. XV, 27.

Enarr. .... ἔπεισεν αὐτὸν (*scil. Sphodriam*) Κλεόμβροτος ὁ βασιλεὺς τῶν Λακεδαιμονίων ἄνευ τῆς γνώμης τῶν ἐφόρων καταλαβέσθαι τὸν Πειραιᾶ. Diod. XV, 29, 5. οἱ δ' ἔφοροι ἀνεκάλεσάν τε τὸν Σφοδρίαν καὶ ὑπῆγον θανάτου. Xen. V, 4, 24 = Plut. *Ages.* XXIV: ἐκ δὲ τούτου κατήγοροι μὲν ἐπέμφθησαν εἰς Σπάρτην ἐξ Ἀθηνῶν, εὗρον δὲ κατηγόρων μηδὲν ἐπὶ τὸν Σφοδρίαν δεομένους τοὺς ἄρχοντας (= *ephoros*), ἀλλὰ θανάτου κρίσιν αὐτῷ προειρηκότας, κ. τ. λ. οἱ δ' αὖ Λακεδαιμόνιοι (*scil. ephori.* Cfr. alios locos qui inveniuntur in eodem libro Xenophonteo, III, 2, 25; ib. 5, 6; IV, 2, 9; V, 4, 35; 4, 47; 4, 59; VI, 4, 17; ib. 5, 10) φρουράν τε ἔφηναν ἐπὶ τοὺς Θηβαίους, καὶ τὸν Ἀγησίλαον νομίσαντες φρονιμώτερον ἂν σφίσι τοῦ Κλεομβρότου ἡγεῖσθαι, ἐδέοντο αὐτοῦ ἄγειν τὴν στρατιάν. Xen. *Hell.* V, 4, 35.

A. 378-77 a. Ch.

—

Test. Xen. *Hell.* V, 4, 47: ἐπεὶ δὲ τὸ ἔαρ ἐπέστη, πάλιν ἔφαινον φρουρὰν οἱ ἔφοροι εἰς τὰς Θήβας, καὶ τοῦ Ἀγησιλάου, ᾗπερ τὸ πρόσθεν, ἐδέοντο ἡγεῖσθαι.

A. 377-76 a. Ch.

—

Test. Xen. *Hell.* V, 4, 59: οἱ δὲ Λακεδαιμόνιοι (= *ephori*), ἐπεὶ ἔαρ ὑπέφαινε, πάλιν φρουράν τε ἔφαινον καὶ Κλεόμβροτον ἡγεῖσθαι ἐκέλευον.

A. 372-71 a. Ch.

Πρόθοος (?)

Test. Xen. *Hell.* VI, 4, 2: Λακεδαιμόνιοι μέντοι ἐκ μὲν τῶν ἄλλων πόλεων τούς τε ἁρμοστὰς καὶ τοὺς φρουροὺς ἀπήγαγον, Κλεόμβροτον δὲ ἔχοντα τὸ ἐν Φωκεῦσι στράτευμα καὶ ἐπερωτῶντα τὰ οἴκοι τέλη (= *ephoros*) τί χρὴ ποιεῖν, Προθόου λέξαντος ὅτι αὐτῷ δοκοίη διαλύσαντας τὸ στράτευμα κατὰ τοὺς ὅρκους καὶ περιαγγείλαντας ταῖς πόλεσι συμβαλέσθαι εἰς τὸν ναὸν τοῦ Ἀπόλ-

.λωνος ὁπόσον βούλοιτο ἑκάστη πόλις, ἔπειτα εἰ μή τις ἐῷη αὐτονόμους τὰς πόλεις εἶναι, τότε πάλιν παρακαλέσαντας ὅσοι τῇ αὐτονομίᾳ βούλοιντο βοηθεῖν, ἄγειν ἐπὶ τοὺς ἐναντιουμένους· οὕτω γὰρ ἂν ἔφη οἴεσθαι τούς τε θεοὺς εὐμενεστάτους εἶναι καὶ τὰς πόλεις ἥκιστ' ἂν ἄχθεσθαι. ἡ δ' ἐκκλησία ἀκούσασα ταῦτα ἐκεῖνον μὲν φλυαρεῖν ἡγήσατο· ἤδη γάρ, ὡς ἔοικε, τὸ δαιμόνιον ἦγεν· ἐπέστειλαν δὲ τῷ Κλεομβρότῳ μὴ διαλύειν τὸ στράτευμα, ἀλλ' εὐθὺς ἄγειν ἐπὶ τοὺς Θηβαίους εἰ μὴ αὐτονόμους ἀφίοιεν τὰς πόλεις, [ὁ δὲ Κλεόμβροτος ἐπειδὴ ἐπύθετο τὴν εἰρήνην γεγενημένην, πέμψας πρὸς τοὺς ἐφόρους ἠρώτα τί χρὴ ποιεῖν· οἱ δ' ἐκέλευσαν αὐτὸν στρατεύειν ἐπὶ τοὺς Θηβαίους, εἰ μὴ ἀφίοιεν τὰς Βοιωτίας πόλεις αὐτονόμους.] = Plut. *Ages.* XXVIII.

ib. *Hell.* VI, 4, 16: *Post proelium Leuctricum* ὁ μὲν εἰς τὴν Λακεδαίμονα ἀγγέλλων τὸ πάθος ἀφικνεῖται γυμνοπαιδιῶν τε οὔσης τῆς τελευταίας καὶ τοῦ ἀνδρικοῦ χοροῦ ἔνδον ὄντος· οἱ δὲ ἔφοροι ἐπεὶ ἤκουσαν τὸ πάθος, ἐλυποῦντο μέν, ὥσπερ, οἶμαι, ἀνάγκη· τὸν μέντοι χορὸν οὐκ ἐξήγαγον, ἀλλὰ διαγωνίσασθαι εἴων. καὶ τὰ μὲν ὀνόματα πρὸς τοὺς οἰκείους ἑκάστου τῶν τεθνεώτων ἀπέδοσαν· προεῖπαν δὲ ταῖς γυναιξὶ μὴ ποιεῖν κραυγήν, ἀλλὰ σιγῇ τὸ πάθος φέρειν. τῇ δ' ὑστεραίᾳ ἦν ὁρᾶν, ὧν μὲν ἐτέθνασαν οἱ προσήκοντες, λιπαροὺς καὶ φαιδροὺς ἐν τῷ φανερῷ ἀναστρεφομένους, ὧν δὲ ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες, τούτους δὲ σκυθρωποὺς καὶ ταπεινοὺς περιιόντας. = Plut. *Ages.* XXIX: οἱ δὲ ἔφοροι, καίπερ εὐθὺς ὄντος καταφανοῦς, ὅτι διέφθαρται τὰ πράγματα καὶ τὴν ἀρχὴν ἀπολωλέκασιν, οὔτε χορόν ἐξελθεῖν εἴασαν οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μεταβαλεῖν τὴν πόλιν, ἀλλὰ κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες αὐτοὶ τὰ περὶ τὴν θέαν καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον. Ἅμα δὲ ἡμέρᾳ φανερῶν ἤδη γεγονότων πᾶσι τῶν τε σωζομένων καὶ τῶν τεθνεώτων, οἱ μὲν τῶν τεθνεώτων πατέρες καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν ἀλλήλους ἐδεξιοῦντο λιπαροὶ τὰ πρόσωπα, φρονήματος μεστοὶ καὶ γέθους, οἱ δὲ τῶν σωζομένων, ὥσπερ ἐπὶ πένθει, μετὰ τῶν γυναικῶν οἶκοι διέτριβον, εἰ δέ τις ὑπ' ἀνάγκης προέλθοι, καὶ σχήματι καὶ φωνῇ καὶ βλήμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος. Ἔτι δὲ μᾶλλον τῶν γυναικῶν ἰδεῖν ἦν καὶ πυθέσθαι τὴν μὲν ζῶντα προσδεχομένην υἱὸν ἀπὸ τῆς μάχης κατηφῆ καὶ σιωπηλήν, τὰς δὲ τῶν πεπτωκέναι λεγομένων ἔν τε τοῖς ἱεροῖς εὐθὺς ἀναστρεφομένας καὶ πρὸς ἀλλήλας ἱλαρῶς καὶ φιλοτίμως βαδιζούσας.

Xen. *Hell.* VI, 4, 17: ἐκ δὲ τούτου (*post cladem ad Leuctra*) φρουρὰν μὲν ἔφαινον οἱ ἔφοροι ταῖν ὑπολοίποιν μόραιν μέχρι τῶν τετταράκοντα ἀφ' ἥβης· ἐξέπεμπον δὲ καὶ ἀπὸ τῶν ἔξω μορῶν μέχρι τῆς αὐτῆς ἡλικίας· τὸ γὰρ πρόσθεν εἰς τοὺς Φωκέας μέχρι τῶν πέντε καὶ τριάκοντα ἀφ' ἥβης ἐστράτευντο· καὶ τοὺς ἐπ' ἀρχαῖς δὲ τότε καταλειφθέντας ἀκολουθεῖν ἐκέλευον. ὁ μὲν οὖν Ἀγησίλαος ἐκ τῆς ἀσθενείας οὔπω ἴσχυεν· ἡ δὲ πόλις (*scil. ephori*) Ἀρχίδαμον τὸν υἱὸν ἐκέλευεν [ἀντ'] αὐτοῦ ἡγεῖσθαι.

A. 371-70 (aut 370-69) a. Ch.

—

Test. Xen. *Hell.* VI, 5, 10 sqq.: τούτων δὲ γιγνομένων (*Stasippo principe factionis Tegeatarum Lacedaemoniis faventis cum suis interfecto*) ἔφυγον εἰς Λακεδαίμονα

τῶν περὶ Στάσιππον Τεγεατῶν περὶ ὀκτακοσίους. μετὰ δὲ ταῦτα τοῖς Λακεδαιμονίοις ἐδόκει βοηθητέον εἶναι κατὰ τοὺς ὅρκους τοῖς τεθνεῶσί τε τῶν Τεγεατῶν καὶ ἐκπεπτωκόσι· καὶ οὕτω στρατεύουσιν ἐπὶ τοὺς Μαντινέας, ὡς παρὰ τοὺς ὅρκους σὺν ὅπλοις ἐληλυθότων αὐτῶν ἐπὶ τοὺς Τεγεάτας. καὶ φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, Ἀγησίλαον δ' ἐκέλευεν ἡ πόλις ἡγεῖσθαι. Cfr. Diod. XV, 59.

A. 370-69 a. Ch.

Ἀνταλκίδας

Test. Plut. *Ages.* XXXII: τότε μέντοι (*cum Epaminondas Spartam oppugnaturus erat*) τὸν Ἀνταλκίδαν φασὶν ἔφορον ὄντα τοὺς παῖδας εἰς Κύθηρα ὑπεκθέσθαι περίφοβον γενόμενον. ib.: ἄλλη δὲ μείζων (*cum Laconicam Epaminondas cum Thebanis invasisset*) ἐμηνύθη συνωμοσία καὶ σύνοδος ἀνδρῶν Σπαρτιατῶν ἐπὶ πράγμασι νεωτέροις εἰς οἰκίαν κρύφα συνερχομένων. οὓς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ καὶ περιορᾶν ἐπιβουλεύοντας. Ἀπέκτεινεν οὖν καὶ τούτους μετὰ τῶν ἐφόρων βουλευσάμενος ὁ Ἀγησίλαος ἀκρίτους, οὐδενὸς δίχα δίκης τεθανατωμένου πρότερον Σπαρτιατῶν.

A. 368-67 (aut 367-66) a. Ch.

—

Test. Plut. *Art.* XXII: ἐπεὶ δὲ ἡττήθησαν (*scil. Lacedaemonii*) ἐν Λεύκτροις, ταπεινὰ πράττοντες ἐδέοντο μὲν χρημάτων καὶ τὸν Ἀγησίλαον εἰς Αἴγυπτον ἐξέπεμψαν, ὁ δὲ Ἀνταλκίδας ἀνέβη πρὸς τὸν Ἀρτοξέρξην παρακαλῶν ἐπαρκέσαι τοῖς Λακεδαιμονίοις. Ὁ δ' οὕτως ἐξημέλησε καὶ παρεῖδε καὶ ἀπέρριψεν αὐτόν, ὥστε καταβάντα καὶ χλευαζόμενον ὑπὸ τῶν ἐχθρῶν, φοβούμενον δὲ καὶ τοὺς ἐφόρους ἀποκαρτερῆσαι.

A. 363-62 a. Ch.

—

Test. Plut. *Ages.* XXXIV: ἐπὶ τούτῳ (*ob facinus ab Isada Phoebidae filio peregregie confectum, cum Epaminondas Spartam occupare conatus iterum esset*) δὲ λέγεται τοὺς ἐφόρους στεφανώσαντας αὐτὸν (*scil.* Ἰσάδαν) εἶτα χιλίων δραχμῶν ἐπιβαλεῖν ζημίαν, ὅτι χωρὶς ὅπλων διακινδυνεύειν ἐτόλμησεν.

A. 362-61 (aut 361-60) a. Ch.

—

Test. Plut. *Ages.* XXXVII: ταῦτα δὲ (*Chabriae*) εἰπὼν (*scil. Agesilaus*) ἔπεμψεν εἰς Σπάρτην (*scil. ad ephoros*) ἄνδρας, οἳ τοῦ μὲν Τάχω κατηγορήσειν, ἐπαινέσεσθαι δὲ τὸν Νεκτάναβιν ἔμελλον. Ἔπεμψαν δὲ κἀκεῖνοι δεόμενοι τῶν Λακεδαιμονίων, ὁ μὲν ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος, ὁ δὲ ὡς εὔνους καὶ προθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. Ἀκούσαντες οὖν οἱ Λακεδαιμόνιοι τοῖς μὲν Αἰγυπτίοις ἀπεκρίναντο φανερῶς Ἀγησιλάῳ περὶ τούτων μελήσειν, ἐκείνῳ δὲ ἐπέστειλαν ὁρᾶν κελεύοντες, ὅπως πράξῃ τὸ τῇ Σπάρτῃ συμφέρον.

A. 331-30 a. Ch.

Ἐτεοκλῆς

Test. Plut. *Apopht. Lac.* 235 *B*: μετὰ δὲ τὴν Ἄγιδος ἧτταν, ὁμήρους αἰτοῦντος Ἀντιπάτρου πεντήκοντα παῖδας, Ἐτεοκλῆς ἐφορεύων εἶπε " παῖδας μὲν οὐ δώσειν, ἵνα μὴ ἀπαίδευτοι γένωνται, τῆς πατρίου ἀγωγῆς

ἀτευκτήσαντες· οὐδὲ πολῖται γὰρ ἂν εἴησαν· πρεσβύτας δ' ἢ γυναῖκας, εἰ βούλοιτο, διπλασίους δώσειν'. ἀπειλοῦντος δ' αὐτοῦ δεινά, εἰ μὴ λάβοι, ἀπεκρίναντο κοινῇ ἐὰν χαλεπώτερα θανάτου ἐπιτάττῃς, εὐκολώτερον ἀποθανούμεθα „.

A. 244-43 a. Ch. (1)

—

Test. Plut. *Agis* VII: ἀντέστησαν γὰρ (*i. e. Agidi*) αἱ γυναῖκες οὐ μόνον τρυφῆς ἐκπίπτουσαι δι' ἀπειροκαλίαν εὐδαιμονιζομένης, ἀλλὰ καὶ τιμὴν καὶ δύναμιν, ἣν ἐκ τοῦ πλουτεῖν ἐκαρποῦντο, περικοπτομένην αὐτῶν ὁρῶσαι. καὶ πρὸς τὸν Λεωνίδαν τραπόμεναι παρεκάλουν ὄντα πρεσβύτερον ἐπιλαμβάνεσθαι τοῦ Ἄγιδος καὶ τὰ πραττόμενα διακωλύειν. ἐβούλετο μὲν οὖν ὁ Λεωνίδας τοῖς πλουσίοις βοηθεῖν, δεδιὼς δὲ τὸν δῆμον ἐπιθυμοῦντα τῆς μεταβολῆς οὐδὲν ἀντέπραττε φανερῶς, λάθρα δε τὴν πρᾶξιν ἐζήτει κακουργεῖν καὶ διαφθείρειν ἐντυγχάνων τοῖς ἄρχουσι (*i. e. ephoris*) καὶ διαβάλλων τὸν Ἄγιν κ. τ. λ.

(1) Annus Epitadei ephori de quo Plut. dicit in vita Agidis referendus est inter a. 405-04 (quo Lacedaemonii Atheniensium principatum everterunt) et 244-43 (quo Agis regnum obtinuit). *Test.* Plut. *Agis* V: ἀρχὴν μὲν οὖν διαφθορᾶς καὶ τοῦ νοσεῖν ἔσχε τὰ πράγματα τῶν Λακεδαιμονίων σχεδὸν ἀφ' οὗ τὴν Ἀθηναίων καταλύσαντες ἡγεμονίαν χρυσίου τε καὶ ἀργυρίου κατέπλησαν ἑαυτούς..... ἐφορεύσας δέ τις ἀνὴρ δυνατὸς, αὐθάδης δὲ καὶ χαλεπὸς τὸν τρόπον, Ἐπιτάδευς ὄνομα, πρὸς τὸν υἱὸν αὐτῷ γενομένης διαφορᾶς ῥήτραν ἔγραψεν, ἐξεῖναι τὸν οἶκον αὐτοῦ καὶ τὸν κλῆρον ᾧ τις ἐθέλοι καὶ ζῶντα δοῦναι καὶ καταλιπεῖν διατιθέμενον. Οὗτος μὲν οὖν αὑτοῦ τινα θυμὸν ἀποπιμπλὰς ἴδιον εἰσήνεγκε τὸν νόμον κ. τ. λ. ib. VI: Διὰ ταῦτα δὴ καλὸν ὁ Ἄγις, ὥσπερ ἦν, ποιούμενος ἐξισῶσαι καὶ ἀναπληρῶσαι τὴν πόλιν ἐπειρᾶτο τῶν ἀνθρώπων.

A. 243-42 a. Ch.

Λύσανδρος ὁ Λίβυος

Μανδροκλείδας ὁ Ἐκφάνους (?)

Test. Plut. *Agis* VIII: οὐ μὴν ἀλλὰ διαπραξάμενος ὁ Ἄγις ἔφορον γενέσθαι τὸν Λύσανδρον εὐθὺς εἰσέφερε δι' αὐτοῦ ῥήτραν εἰς τοὺς γέροντας, ἧς ἦν κεφάλαια κ. τ. λ. Cfr. Paus. III, 6, 4.

Plut. *Agis* IX: γραφείσης δὲ τῆς ῥήτρας καὶ τῶν γερόντων εἰς ταὐτὸ ταῖς γνώμαις οὐ συμφερομένων, ἐκκλησίαν συναγαγὼν ὁ Λύσανδρος αὐτός τε διελέχθη τοῖς πολίταις, καὶ Μανδροκλείδας καὶ Ἀγησίλαος ἐδέοντο μὴ δι' ὀλίγους ἐντρυφῶντας αὐτοῖς περιιδεῖν ἐρριμμένον τὸ ἀξίωμα τῆς Σπάρτης, ἀλλὰ τῶν τε προτέρων χρησμῶν μνημονεῦσαι, τὴν φιλοχρημοσύνην ὡς ὀλέθριον τῇ Σπάρτῃ φυλάττεσθαι διακελευομένων, καὶ τῶν ἔναγχος ἐκ Πασιφάας κεκομισμένων αὐτοῖς.

Enarr. ib. XI: ὁ δὲ Λύσανδρος ἔτι τὴν ἀρχὴν ἔχων ὥρμησε τὸν Λεωνίδαν διώκειν κατὰ δή τινα νόμον παλαιόν, ὃς οὐχ ἐᾷ τὸν Ἡρακλείδην ἐκ γυναικὸς ἀλλοδαπῆς τεκνοῦσθαι, τὸν δὲ ἀπελθόντα τῆς Σπάρτης ἐπὶ μετοικισμῷ πρὸς ἑτέρους ἀποθνήσκειν κελεύει. Ταῦτα κατὰ τοῦ Λεωνίδα λέγειν ἑτέρους διδάξας αὐτὸς παρεφύλαττε μετὰ τῶν συναρχόντων τὸ σημεῖον. Ἔστι δὲ τοιόνδε· δι' ἐτῶν ἐννέα λαβόντες οἱ ἔφοροι νύκτα καθαρὰν καὶ ἀσέληνον σιωπῇ καθέζονται πρὸς οὐρανὸν ἀποβλέποντες. Ἐὰν οὖν ἐκ μέρους τινὸς εἰς ἕτερον μέρος ἀστὴρ διάξῃ, κρίνουσι τοὺς βασιλεῖς ὡς περὶ τὸ θεῖον ἐξαμαρτάνοντας καὶ καταπαύουσι τῆς ἀρχῆς, μέχρι ἂν ἐκ Δελφῶν ἢ Ὀλυμπίας χρησμὸς ἔλθῃ τοῖς ἡλωκόσι τῶν βασιλέων βοηθῶν. Τοῦτο δὴ τὸ σημεῖον αὐτῷ γεγονέναι λέγων ὁ Λύσανδρος κρίσιν τῷ Λεωνίδᾳ προὔθηκε, κα

μάρτυρας παρεῖχεν, ὡς ἐκ γυναικὸς Ἀσιανῆς, ἣν τῶν Σελεύκου τινὸς ὑπάρχων αὐτῷ συνοικίσαντος ἔσχε, τεκνώσαιτο δύο παιδία· δυσχεραινόμενος δὲ καὶ μισούμενος ὑπὸ τῆς γυναικὸς ἐπανέλθοι παρὰ γνώμην οἴκαδε καὶ διαδοχῆς ἔρημον ἀνέλοιτο βασίλειον. ἅμα δὲ τῇ δίκῃ Κλεόμβροτον ἔπειθε τῆς βασιλείας ἀντιποιεῖσθαι, γαμβρὸν ὄντα τοῦ Λεωνίδα, γένους δὲ τοῦ βασιλικοῦ. Φοβηθεὶς οὖν ὁ Λεονίδας ἱκέτης γίνεται τῆς Χαλκιοίκου, καὶ συνικέτευεν ἡ θυγάτηρ τῷ πατρὶ, τὸν Κλεόμβροτον ἀπολιποῦσα. Καλουμένου δὲ πρὸς τὴν δίκην αὐτοῦ καὶ μὴ καταβαίνοντος, ἐκεῖνον ἀποψηφισάμενοι τὴν βασιλείαν τῷ Κλεομβρότῳ παρέδοκαν.

A. 242-41 a. Ch.

Ἀγησίλαος
Ἀμφάρης
Δαμοχάρης (?)
Ἀρκεσίλαος (?)

Test. Plut. *Agis* XII: Ἐν τούτῳ δὲ τῆς ἀρχῆς ὁ Λύσανδρος ἀπηλλάγη τοῦ χρόνου διελθόντος· οἱ δὲ καταστάθεντες ἔφοροι τὸν μὲν Λεωνίδαν ἀνέστησαν ἱκετεύοντα, τῷ δὲ Λυσάνδρῳ καὶ τῷ Μανδροκλείδᾳ δίκην ἐπῆγον ὡς παρὰ τὸν νόμον χρεῶν ἀποκοπὰς καὶ γῆν ἀναδάσασθαι ψηφισαμένοις. Κινδυνεύοντες οὖν ἐκεῖνοι πείθουσι τοὺς βασιλεῖς ὁμοῦ γενομένους χαίρειν ἐᾶν τὰ τῶν ἐφόρων βουλεύματα· ..... οὕτω δὴ πεισθέντες ἀμφότεροι καὶ μετὰ τῶν φίλων εἰς ἀγορὰν καταβάντες ἀνέστησαν μὲν ἐκ τῶν δίφρων τοὺς ἐφόρους, ἄλλους δ' ἀντ' αὐτῶν ἀπέδειξαν, ὧν εἷς ἦν Ἀγησίλαος. ὁπλίσαντες δὲ τῶν νέων πολλοὺς καὶ λύσαντες τοὺς δεδεμένους ἐγένοντο φοβεροὶ τοῖς ὑπεναντίοις, ὡς πολλοὺς ἀποκτενοῦντες.

Enarr. ib. XIII: ἐπειδὴ γὰρ ἐκέκτητο μὲν (*scil. Agesilaus*) ἐν τοῖς μάλιστα πολλὴν καὶ ἀγαθὴν χώραν, ὤφειλε δὲ πάμπολλα, μήτε διαλῦσαι δυνάμενος τὰ χρέα μήτε τὴν χώραν προέσθαι βουλόμενος ἔπεισε τὸν Ἄγιν, ὡς ἀμφοτέρων μὲν ἅμα πραττομένων μέγας ἔσοιτο περὶ τὴν πόλιν ὁ νεωτερισμός, εἰ δὲ τῇ τῶν χρεῶν ἀφέσει θεραπευθεῖεν οἱ κτηματικοὶ πρότερον, εὐκόλως ἂν αὐτῶν καθ' ἡσυχίαν ὕστερον ἐνδεξομένων τὸν ἀναδασμόν. Ταῦτα δὲ καὶ τοῖς περὶ Λύσανδρον ἐδόκει, συνεξαπατωμένοις ὑπὸ τοῦ Ἀγησιλάου. καὶ τὰ παρὰ τῶν χρεωστῶν γραμματεῖα συνενέγκαντες εἰς ἀγοράν, ἃ κλάρια καλοῦσι, καὶ πάντα συνθέντες εἰς ἓν συνέπρησαν. Ἀρθείσης δὲ φλογὸς οἱ μὲν πλούσιοι καὶ δανειστικοὶ περιπαθοῦντες ἀπῆλθον, ὁ δὲ Ἀγησίλαος ὥσπερ ἐφυβρίζων οὐκ ἔφη λαμπρότερον ἑωρακέναι φῶς οὐδὲ πῦρ ἐκείνου καθαρώτερον. Ἀξιούντων δὲ τῶν πολλῶν καὶ τὴν γῆν εὐθὺς νέμεσθαι καὶ τῶν βασιλέων οὕτω ποιεῖν κελευόντων, ἀσχολίας τινὰς ἐμβάλλων ὁ Ἀγησίλαος ἀεὶ καὶ προφάσεις λέγων παρῆγε τὸν χρόνον, ἄχρι οὗ στρατεία συνέβη τῷ Ἄγιδι, μεταπεμπομένων τῶν Ἀχαιῶν συμμάχων ὄντων βοήθειαν ἐκ Λακεδαίμονος. ib. XVI: ὁ γὰρ Ἀγησίλαος ἐφορεύων, ἀπηλλαγμένος οἷς ταπεινὸς ἦν πρότερον, οὐδενὸς ἐφείδετο φέροντος ἀργύριον ἀδικήματος, ἀλλὰ μῆνα τρισκαιδέκατον, οὐκ ἀπαιτούσης τότε τῆς περιόδου, παρὰ τὴν νενομισμένην τάξιν τῶν χρόνων ἐνέβαλε τοῖς τέλεσι καὶ παρέπραττε. δεδιὼς δὲ τοὺς ἀδικουμένους καὶ μισούμενος ὑπὸ πάντων, ἔτρεφε μαχαιροφόρους, καὶ φυλαττόμενος ὑπὸ τούτων κατέβαινεν εἰς τὸ ἀρχεῖον. Καὶ τῶν βασι-

λέων τοῦ μὲν ὅλως καταφρονεῖν τὸν δὲ Ἄγιν ἐβούλετο δοκεῖν διὰ τὴν συγγένειαν μᾶλλον ἢ διὰ τὴν βασιλείαν ἔν τινι τιμῇ τίθεσθαι. Διέδωκε δὲ λόγον ὡς καὶ αὖθις ἐφορεύσων.

